εμμι[
και.[
ρ.ε[
ω....[
Μοίσαν ἀγλα[
πόει καὶΧαρίτων[
βραδίνοιςἐπεβ.[
ὄργας μὴ᾽πιλάθε .[
θνάτοισιν· πεδ΄.χ
]δαλίω[

fr. 45
ἄς θέλετ' ὔμμες

fr. 46
ἔγω δ' ἐπὶ μολθάκαν
τύλαν κασπολέω μέλεα· κἄν μὲν τε τύλαγκας ἀσπόλεα·†

fr. 47
Ερος δ' ἐτίναξέ μοι
φρένας, ὡς ἄνεμος κὰτ ὄρος δρύσιν ἐμπέτων.

fr. 48
ἦλθες, καὶ †ἐπόησας, ἔγω δέ σ' ἐμαιόμαν,
ὃν δ' ἔψυξας ἔμαν φρένα καιομέναν πόθωι.

fr. 49
ἠράμαν μὲν ἔγω σέθεν, Ατθι, πάλαι ποτά ....
σμίκρα μοι πάις ἔμμεν' ἐφαίνεο κἄχαρις.

fr. 50
ὀ μὲν γὰρ κάλος ὄσσον ἴδην πέλεται <κάλος>,
ὀ δὲ κἄγαθος αὔτικα καὶ κάλος ἔσσεται.

fr. 51
οὐκ οἶδ' ὅττι θέω· δίχα μοι τὰ νοήμματα

fr. 52
ψαύην δ' οὐ δοκίμωμ' ὀράνω δυσπαχέα†

[104] Page.

Ed Eros struggicarne non le gira intorno, mai!...
senza paura.

b)
sono... [?]
...
...
...
Splendor di Muse...
fa, e di Grazie...
languidi...
non dimenticare le tensioni...
ai mortali...
...Delio... [?]

fr. 45
Per tutto il tempo che volete voi.

fr. 46
E io sul soffice
cuscino appoggerò il mio corpo...

fr. 47
Amore m'ha martellato all'improvviso
le viscere. Come vento di montagna batte querce.

fr. 48
Ora sei qui. Ero come pazza, ti volevo.
Sei ventata fresca, su viscere incendio di passione.

fr. 49
Ero innamorata di te, Àttide. Tanto tempo fa.
Quando mi parevi niente, bimba senza incanti.

fr. 50
Chi è solo bello, resta bello all'occhio.
Ma chi ha valore sarà bello sempre.

fr. 51
Non so come metterla: duplici pensieri, i miei.

fr. 52
Non m'illudo di toccare il cielo con le braccia.

fr. 53 *ΣΑΠΦΟΥΣ ΜΕΛΩΝ Γ*

βροδοπάχεες ἄγναι Χάριτες δεῦτε Δίος κόραι

fr. 54

ἔλθοντ' ἐξ ὀράνω πορφυρίαν περθέμενον χλάμυν ...

fr. 55

κατθάνοισα δὲ κείσηι οὐδ' ἔ<τι> τις μναμοσύνα σέθεν
ἔσσετ' οὐδέποτ' <εἰς> ὕστερον· οὐ γὰρ πεδέχηις βρόδων
τὼν ἐκ Πιερίας· ἀλλ' ἀφάνης κὰν Αἴδα δόμωι
φοιτάσηις πεδ' ἀμαύρων νεκύων ἐκπεποταμένα.

fr. 56

οὐδ' ἴαν δοκίμωμι προσίδοισαν φάος ἀλίω
ἔσσεσθαι σοφίαν πάρθενον εἰς οὐδένα πω χρόνον
τεαύταν

fr. 57

τίς δ' ἀγροΐωτις θέλγει νόον .....
ἀγροΐωτιν ἐπεμμένα σπόλαν .....
οὐκ ἐπισταμένα τὰ βράκε' ἔλκην ἐπὶ τὼν σφύρων;

fr. 58 = 58a-d *ΣΑΠΦΟΥΣ ΜΕΛΩΝ Δ*

fr. 58a

[ ].[
[ ].δα[
[ ]
[ ].α
[ἐκ θανάτω
φ]ύγοισα[105]
[ἐχίδνας]. [..].. [ὄδοντ]ι δάχθην[106]
[πάγ]χυ θ[ἐ]οι[ς], [Κ]αλλ[ιόπα, σὺ δ' αὔταν[107]
[ἄχθος· [ζ]ὰ τί λ[ῆμα τ]εῖσαι
[χρῆ μ', ὥστε πάις κεκλο]μένα τὰν [πολυώ]νυμόν σε
τῶ κύδεος ἄνδρων ἔ]νι θῆται στ[ύ]μα[σι] πρόκοψιν;[108]

fr. 58b

].(.)α
].αι
]..(.)

[105] ἐκ θανάτω Tsanstanoglou 2019 p. 40 dub.; φ]ύγοισα Diehl.
[106] Di Benedetto.
[107] Di Benedetto. Καλλιόπα σὺ δ' αὔταν.
[108] Vv. 6-10: integrazioni in Tsanstanoglou 2019 p. 40.

fr. 53 *LIBRO III*
Braccia di rosa arcane Grazie, qui, figlie di Zeus.

fr. 54
In arrivo dal cielo, chiuso in suo scarlatto manto.

fr. 55
Morirai tutta. Sottoterra. Ricordo tuo
non vivrà… negativa eternità: tu non hai parte nelle rose
di Poesia. Spenta, galleggerai in casa della Morte
volatile tra quei fantasmi neri.

fr. 56
Io sentenzio: non vedrà mai luce di sole
un'altra ragazzina con talento
come il suo.

fr. 57
Che contadina t'ha fatto la magia?…
infagottata, stoffa contadina…
non sa librare quegli stracci sulla sua caviglia

fr. 58 = 58a-d *LIBRO IV*

fr. 58a
…
…
…
…
…sfuggita [a morte]

…da dente d'una vipera… morsa
…in ogni modo dagli dèi, Calliope, tu quella
…corruccio: ripagarla per il suo coraggio
debbo, che la figlia invocando te che hai molti nomi
riponga l'avanzarsi della gloria sulla lingua degli uomini…

fr. 58b
…
…
…

].ο.[
] εὔχομ[[109]
ἔμαισιν ἑταίραισ᾽ ἀμ᾽ ἔμοι][110] νῦν θαλ[ί]α γε[νέσθω[111]
ἐπεὶ δέ κε γήραισα θάνω,][112] νέρθε δὲ γᾶς περ[ίσχ]οι[113]
κλέος μέγα Μοίσει]ον[114] ἔχοισαν γέρας, ὡς [ἔ]οικεν,
πάντᾳ δέ με θαυμά]ζοιεν[115] ὡς νῦν ἐπὶ γᾶς ἔοισαν
κάλεισι χελίδων][116] λιγύραν, [α]ἴ κεν ἔλοισα πᾶκτιν
ἢ βάρβιτον ἢ τάνδε[117] χε]λύνναν καλάμοις ἀείδω

fr. 58c
[῾Υμμες πέδα Μοίσαν ἰ]οκ[ό]λπων κάλα δῶρα παῖδες
[σπουδάσδετε καὶ τὰ]ν φιλάοιδον λιγύραν χελύνναν,
[ἔμοι δ᾽ἄπαλον πρὶν] ποτ᾽[ἔ]οντα χρόα γῆρας ἤδη
[ἐπέλλαβε, λεῦκαι δ᾽ἐγ]ένοντο τρίχες ἐκ μελαίναν
βάρυς δέ μ᾽ο [θ]ὔμος πεπότηται, γόνα δ᾽ [ο]ὐ φέροισι
τὰ δή ποτα λαίψηρ᾽ἔον ὄρχησθ᾽ ἴσα νεβρίοισιν.
τὰ μὲν στεναχίσδω θαμέως. ἀλλὰ τί κεν ποείην;
ἀγήραον ἄνθρωπον ἔοντ᾽οὐ δύνατον γένεσθαι.
Καὶ γάρ π[ο]τα Τίθωνον ἔφαντο βροδόπαχυν Αὔων
ἔρῳ . .αθεισαν βάμεν εἰς ἔσχατα γᾶς φέροισαν
ἔοντα κάλον καὶ νέον ἀλλ᾽αὖτον ὔμως ἔμαρψ[ε
χρόνῳ πόλιον γῆρας ἔχ[ο]ντ᾽ἀθαν]άταν[118] ἄκοιτιν.

fr. 58d
θάνοισαν ἄοιδον τὸ πὰν οὐδεὶς φθ]ιμέναν[119] νομίσδει.
ἄλλοισι τύχην ὅσσα θέλωσι Κρονίδ]αις[120] ὀπάσδοι
ἔγω δὲ φίλημμ᾽ ἀβροσύναν,[ἴστε δέ], τοῦτο καί μοι
τὸ λάμπρον ἔρως τὠελίω καὶ τὸ κάλον λέ̣λ̣ογχε.

[109] Di Benedetto.
[110] Di Benedetto.
[111] West.
[112] Di Benedetto.
[113] West.
[114] West.
[115] West.
[116] West.
[117] West.
[118] Integrazioni al testo di West 2005 pp. 4 s.
[119] Di Benedetto 2006. Tsanstanoglou 2019: καὶ Κύπρις ἔοικός με σάων μὴ φθ]ιμέναν νομίσδει.
[120] Di Benedetto 1985. Tsanstanoglou 2019: αἴθ᾽ ὡς ὑγιείαν ἐράταν ἀγλαΐσ]αισ᾽ ὀπάσδοι.

...
...io prego...
per quelle a me care e per me stessa, ora, che festa sia.
Me, quando sarò vecchia e morrò, sotto la terra cinga
con gloria superba, musico premio, per come è giusto,
mi ammirino ovunque come, ora che vivo in terra,
mi chiama canora rondine, quando, presa la pectide
o il bàrbito o questa cetra, io con i flauti canto.

fr. 58c
Appassionatevi, ragazze, ai doni belli delle Muse
cinte di viola, e a cetra cristallina, intima del canto.
io avevo pelle vellutata, nel passato. Ma vecchiaia
l'ha artigliata. Si son fatti bianchi i miei capelli,
da neri. Lo spirito è pesante. Non reggono le gambe,
un tempo elastiche nel ballo, zampe di cerbiatta,
Ci piango sopra. Spesso. Che altro posso fare?
Senza vecchiaia non è dato: sono creatura umana.
Raccontano che Aurora braccia rosa si portò Titono,
all'orlo della terra, sotto comando d'eros.
Lui era giovane, bello. Ma la vecchiaia grigia
col tempo l'agguantò. Fu sposo senza morte.

fr. 58d
La cantrice, se muore, nessuno estinta del tutto la considera,
ad altri conceda il Cronide cogliere quel che vogliono,
io amo la finezza: sappiatelo voi, è un amore
che m'ha fatto avere la luce bellissima del sole.

fr. 59

]ε πιν[-
]φίλεισ[α[121]
]καὶ ν[ῦν
].[...]ν̣ὸ.[
. . .

fr. 60

[ ]τύχοισα
[ ] θέλ' ὧν τ' απαίσαν
[ ].εσον νόημμα
[ ]έτων κάλημ<μ>ι
[ ] πεδὰ θῦμον αἴψα
[ὄ]σσα τύχην θελήση[ις
[σὺν γὰ]ρ[122] ἔμοι μάχεσθα[ι
[χ]λιδάναι πίθεισα[
[ ]ι, σὺ δ' εὖ γὰρ οἶσθα
[ ]έτει τα[.].λε..
[ ]κλ̣ασ[

fr. 61

ἔγεντ̣.[
οὐ γὰρ κ[ε

fr. 62

ἐπτάξατ̣ε [
δάφνας ὄτα̣[
πὰν δ' ἄδιον[
ἦ κῆνον ἐλο[
καὶ ταῖσι μὲν ἀ[
ὀδοίπορος ἄν[....]..[
μύγις δέ ποτ' εἰσάιον· ἐκλ[
ψύχα δ' ἀγαπάτασυ.[
τέαυτα δὲ νῦν ἔμμ̣ [ατα[123]
ἴκεσθ' ἀγανα[
ἔφθατε· κάλαν[
τά τ' ἔμματα κα̣[ὶ[124]

fr. 63

Ὄνοιρε μελαίνα[ις πτερύγεσσι[125]
φ[ο]ίταις ὅτα τ' ὕπνος [κατέχῃ με[126]

121 West (che collega il frammento al precedente).
122 Snell.
123 Diehl.
124 Diehl.
125 Hunt.
126 Latte.

fr. 59
...perla... [?]
...amando...
...tuttora...

fr. 60
...ottenendo, io
...tutto ciò che voglio...
...attua il mio pensiero...
...io t'invoco...
...subito, secondo la mia febbre
...quanto tu vuoi ottenere...
...battersi dalla mia parte...
obbedendo a lei, la sensuale...
tu lo sai perfettamente
...
...

fr. 61
...fu...
...già, non potrebbe...

fr. 62
Vi faceste piccole...
d'alloro, quando...
tutto è più dolce...
di quello...
e a loro, le donne...
viandante...
a stento, qualche volta, ho udito...
anima amata...
adesso come i vestiti...
arrivare, gentile...
precedeste: e bella...
quei vestiti, inoltre...

fr. 63
O Sogno, con nere ali
vieni a trovarci quando sonno mi prende,

γλύκυς θ[ἐ]ος, ἦ δεῖν' ὀνίας μ[νάματα[127]
ζὰ χῶρις ἔχην τὰν δυναμ[ιν[128]
ἔλπις δέ μ' ἔχει μὴ πεδέχη[ν
μηδὲν μακάρων ἔλ[πομ'ἔγων[129]
οὐ γάρ κ' ἔον οὕτω[.
ἀθύρματα κα.[
γένοιτο δέ μοι[
τοῖς πάντα[

fr. 64a-b

a)

[ἀ]λικεσσι[

[ ].θέοισ[
[ ]ν αἰσχρ[
[ ]
[ ]α μοῖ[σα[130]

b)

[ ].δο.[

fr. 65 + 66c

.....]...α[
.....]ρομε[
.....].ελασ[
.ροτ.ήννεμε[
Ψάπφοι, σὲ φίλ[ησ'ἔξοχα καλλίθρονος Ἀφροδίτα,]
Κύπρωι β [α]σίλ[η'ἐνναλίας ὀλβοδότειρα σέ]μνα[131]
καίτοι μέγα δ.[ ].κατεγ[
ὄ]σσοις φαέθων [Ἀέλιος φέγγεσιν ἀμφιβ]άσκ[ει
πάνται κλέος [ἔσλον[132]
καί σ' ἐνν Ἀχέρ[οντ
..[.....]νπ[

fr. 66a

ἄμ' ἐξα[πίνας[133]

[127] Diehl.
[128] Diehl.
[129] Schadewalt.
[130] Voigt (o anche Μοῖρα).
[131] Vv. 5 s. West.
[132] Diehl.
[133] Neri 2020.

dolce dio, che terribili memorie di dolore...
separatamente tenere la potenza...
la speranza mi prende, di non sperimentare...
nulla di celesti io spero
forse, non fosse così...
gingilli di canto [?]...
se m'avvenisse...
a loro tutto...

fr. 64a

a)

alle coetanee...

agli dèi
...turpi offese...
...
...Musa...

b)

...dare... [?]

fr. 65 + 66c
...
...
...
...
ah, Saffo, ti ama alla follia Afrodite bel-trono,
regina di Cipro marina, prospera dea, onorata,
per quanto grande...
a tutti, quanti lo splendente sole di raggi cinge,
nobile gloria in ogni dove...
anche nella casa di Acheronte, tu...
...

fr. 66a
insieme, d'un tratto...

fr. 66b
[.]ὄργι[α
ς πίο[[134]

fr. 67a
θέ]ων μακ[άρων[135]
κ]αὶ τοῦτ' ἐπικε.[
δ]αίμων ὀλοφώ[ιος[136]
οὐ μὰν ἐφίλησ̣[
νῦν δ' ἔννεκα[
τὸ δ' αἴτιον οὐτ[
οὐδὲν πόλυ[.].[
σ]ὺ δ' [

fr. 67b
[ ].ουδε[
[ ]ταυτα.[
λαισιμ[
[ ]πλήον.[
[ ]' ἀμφ[

fr. 68a
[ ]ι γάρ μ' ἀπὺ τὰς ἔμ[ας γᾶς[137]
[ὔ]μως δ' ἔγεν[το
[ ] ἴσαν θέοισιν
[ ]ασαν ἀλίτρα[ν
[Ἀν]δρομέδαν [ὐ]πάξ[ει
[ ]Ἄρ[τεμις] ἁ μάκα[ιρ]α
[ἀργάλ]ε̣ον[138] δὲ τρόπον α[ἰ]σχύνη[ται[139]
[ ]κόρο̣ν οὐ κατίσχει
κ̣α[.....].Τυνδαρίδαι[σι
ἀσυ[χ]ίᾳ̣ κὰ[τ] χαρίεντ' ἀρ[έσκοι[140]
[ ]κ' ἄδολον [μ]ηκέτι συν[
[ ]Μεγάραν[τὰ]ν̣ ἀ[βάκη]ν

[134] Voigt.
[135] Diehl.
[136] Hunt.
[137] Ferrari sulla scorta di Treu: ἔμ[ας.
[138] Treu.
[139] Voigt.
[140] Puglia.

fr. 66b
riti
...grasso...

fr. 67a
di celesti beati... [?]
e questo...
Genio del male...
no, certo, non fu amore...
e adesso, a causa...
questo, il motivo...
neppure molto...
ma tu...

fr. 67b
...né...
...questo...
...ma giusto... [?]
...più...[?]
...intorno...

fr. 68a
...certo, me dalla mia terra...
...insieme avvenne...
...lei, pari agli dèi...
...colpevole...
...soggiogherà [?] Andromeda...
...Artemide [?] benedetta...
...svergognerà il temperamento penoso... [?]
...non raffrena l'insolenza...
...ai Tindaridi...
...in pace piacerebbe che un grazioso...
...esente da inganno non più...
...Megara la gentile...

fr. 68b

[ ]....φ[
[ ].[.]ἀθύραμ[εν[142]
μοι χάλεπ[αι μέριμναι[143]

fr. 69

ἐπεὶ [σ]τ̣έγα μ[ε[141]
ας ἀλίτρα[

fr. 70

[ ]ἄμιλλ[α[144]
[μ]νᾶμ[-[145]
[νῦ]ν̣ δ' εἶμ' ἐ[
[ἐπο]ρσομέν[α[146]
[ἄ]λικ' ὑπα[
[ ]...[.]βα[
[οὔτι]ς γὰρ ἔπαν[σ-[147]
μάν κ' ἀπύθυσ̣[-
[ ]ἁρμονίας δ̣[
γάθην χόρον, ἄα[
[ ]δε λίγηα.[
[δυν]ατόν σφι[
[ ]πάντεσσι[
[ ]επ[.].[

fr. 71

[οὔδε θέ]μις[148] σὲ, Μίκα,
[γ]έλα[ν αλ]λά σ' ἔγωὐκ ἐάσω
ν̣ φιλότ[ατ'] ἤλεο Πενθιλήαν̣[
[ ]δα κα̣[κό]τροπ', ἄμμα[
[ ] μέλ̣[ος] τι γλύκερον .[
[ ]α μελλιχόφων[ος
[ ]δει, λίγυραι δ' ἄη[ται
[ ] δροσ[ό]εσσα[

fr. 72

αμμε[

fr. 73a

[ ]αν Ἀφροδι[τα
[ἀ]δύλογοι δ' ἔρ[ωτες
[ ]βαλλοι
[α]ις ἔχοισα
[ ].ένα θαασ[σ-
[θ]άλλει[149]
ας ἐέρσας[

141 Ferrari.
142 Ferrari.
143 Ferrari.
144 Ferrari.
145 Ferrari.
146 Ferrari.
147 Ferrari.
148 Treu.
149 Diehl.

fr. 68b
...
...ci gingillavamo [con canti e musiche]...
...per me dure <angosce> [?]...

fr. 69
...poiché un tetto mi...
...colpevole...

fr. 70
...gara... [?]
...ricordo...[?]
...ora andrò...
...assalendo...[?]
...coetanea...[?]
...
...nessuno fermò...[?]
sacrificare...
...dell'armonia...
godere la danza...
...canora...
...possibile a loro...
...a tutti...
...

fr. 71
...né è giusto che tu, Mica...
...rida, ma io non lascerò che tu...
...tu hai scelto altra intimità, con quelle
della casa di Pentilo..., villana, noi...
...dolce canzone...
...voce di miele...
...nitide brezze...
...rugiadosa...

fr. 72
noi...

fr. 73a
...Afrodite
...voci-soavi amori
...getti
...avendo...
...sedeva...
...fiorisce
...rugiade

fr. 74a

]βροδο[

]φαιμ[

fr. 74b

ποθο̣[

fr. 74c

[ ]ας ἴδρω[-

fr. 75a

[ὀ]νίαν[

fr. 75b

[γε]νέσ̣θα̣[ι

fr. 76

θε]λέσειε κ̣[

ε θέλω[
]εχην[
η· ἔφα.[
[ὑμ]αλίκ[εσσι[150]

fr. 77a

[ ]τε χαρα̣[
[ ]ι̣δι δοῖσ[
[ ]δεν ἀμεσ[
[ ]ος σύγ' ἀ[
[ἔ]σλον[152] α[

fr. 77b

[ ]μήτε̣[
μει]δίαισα[151]
[ ]φρα[ζε-

fr. 78

.ονανυ[
ην οὐδε[
[ ]ης ἴμερ[
.αι δ' ἅμα[
.ανθος·[
[ ]μερον[
[ ]ετερπ[

fr. 79

τ' αὖ̣τ̣ον.[
ω̣ πέλετ[

fr. 80

[πανται[
ι̣ δ' ἀτέρα[
[π]λόκα[μ-

[150] Treu.
[151] Hunt.
[152] Voigt.

fr. 74a

...rosa...

...direi... [?]

fr. 74 b
...desiderio...

fr. 74c
...sudore...

fr. 75a

...angoscia... [?]

fr. 75b

...diventare...

fr. 76

...compia...

...vorrei...
...avere...
...disse...
...alle coetanee...

fr. 77a

...gioia...
...dando...
...
...tu in realtà...
...nobile...

fr. 77b
...né...
...sorridendo...
...pensi...[?]

fr. 78
...
...né...
...desiderio...
...insieme...
...fiore...
...desiderio
...godeva...

fr. 79
...lui...
...è...

fr. 80
...tutto...
...altre...
...trecce...

fr. 81

]απύθεσθ[αι[153]
ὅττι τά]χιστα[154] λ̣[
]ε̣μ̣π[
σὺ δὲ στεφάνοις, ὦ Δίκα, πέρθεσθ' ἐράτοις φόβαισιν
ὄρπακας ἀνήτω συναέρραισ' ἀπάλαισι χέρσιν·
εὐάνθεα †γὰρ πέλεται† καὶ Χάριτες μάκαιραι
μᾶλλον προτόρην, ἀστεφανώτοισι δ' ἀπυστρέφονται.

fr. 82a-b

εὐμορφοτέρα Μνασιδίκα τὰς ἀπάλας Γυρίννως

καίτ' ἐ[
μηδεν[
νῦν δ' ἀ[
μὴ βόλλε̣[
εὐ]μορφο̣[τέρα

fr. 83

[ ].αι.[
ἀλ]λ' αὖθι μέ[νην[156]
]νώμεθ' ὀ[
δηὖτ' ἐπιτ[
]ἔν τ' ἠδὲ[158] μ̣[
.α γὰρ ἐκά[
[ ].[.].[

fr. 84

]τον ὄνει[δ]ος ε̣[ΐη[155]
λ]άβροις ἐπὶ χείμ[ονας[157]
]αν Ἀρτεμι̣[
[ ]ναβλ[

fr. 85a I col 1

[ ].. [
[ὄ]λβον [
[ ]ακούην [
]ά̣υταν̣ [

fr. 85a II col 1

[ἄ]γαν
[ ]
[ ]

fr. 85a II col 2

γο̣[

fr. 85b

[πε]πάμενα̣[ι[159]
τ̣' ὥστ' ὀ πέλη[ος
[ ]ακαν σ̣ὸ̣[

fr. 85c

]φωνα[
]προσθ.[

153 Hunt.
154 Diehl.
155 Voigt.
156 Diehl. Voigt: αὖθι.
157 λ]άβροις Voigt. Di Benedetto: χείμ[ονας.
158 Hunt e dub. Voigt.
159 Hunt.

fr. 81
...deporre...
...al più presto...
...
Diademi di seduzione, mia Dica, di viticcia
romatici legati ai capelli, con leggeri tocchi:
fiori e bellezza... e miracolose Grazie
preferiscono... evitano chi non ha diademi.

fr. 82a-b
Mnasidica ha più forme della piccola Girinno
...
...eppure...
...nulla...
...ora...
...non vuole...
ha più forme...

fr. 83
...
ma qui rimanere
...
di nuovo...
...già...
...infatti...
...

fr. 84
...onta sarebbe...
...per violente tempeste...
...Artemide!...
...

fr. 85a I col 1
...
...felicità...
...ascoltare...
...[me] stessa...[?]

fr. 85a II col 1
troppo...
...
...

fr. 85a II col 2
...
ginocchia...[?]
...

fr. 85b
...acquistare...
...come l'anziano...
...

fr. 85c
...voce...
...prima...

fr. 86
[ ].ακάλα.[
[ ] αἰγιόχω λ̣α[
. Κυθέρη᾽ εὐχομ[έναι μ᾽ ἄρεξον[160]
[ἴλλα]ον[161] ἔχοισα θῦμο̣[ν
[κλ]ῦθί μ᾽ ἄρας αἴ π[ότα κατέρωτα
[ ]ας προλίποισα K[ύπρον[162]
[ ]. πεδ᾽ ἔμαν ἰώ̣[αν
[ ].ν χαλέπαι.[

fr. 87 I col. 2
ξα[νθ-

fr. 87 II
[ ]αμμ̣[
[ ]ικα.[
[λί]ποισαι[163]
κλεηδον[
.πλοκαμ̣[
[ ]ε̣σδ᾽ ἀμα[
[ ]ανθρώπ[
[ ].υμαιν[

fr. 87 VIII
[μ]εριμνα[

fr. 87 IX
.ο̣ι πλύν[ει[164]

fr. 87 XI
τ̣ό̣λμ̣[

fr. 87 XII
δ᾽ ἄ θελ̣[- [

fr. 87 XIII
εὔκα]ρπον ἄβαν [

fr. 87 XVI
[ ]εφι.[
βα̣σιλη̣.[
[μ]έγα δ.[
[ ].οσ.[

fr. 87 XVII
[ ]ν·σοι[
Τελεσί̣π̣π̣[α[165]

fr. 87 XVIII
ο]ὐδάμω[ς[166]
οἶδα[167

fr. 87 XXIII
.ψά̣μ[

160 Ferrari e.g.
161 Fraenkel.
162 Fraenkel.
163 Neri.
164 Neri.
165 Hunt.
166 Neri.
167 Neri.

fr. 86
...placida... [?]
...[figlia (?) di Zeus] cinto d'egida...
...Citerea a me che t'invoco da' aiuto
...ho febbre dentro...
...ascolta la mia supplica, se mai altra volta...
...lasciando Cipro...
...per il mio grido...
...difficili [angosce (?)]...

fr. 87 I col. 2
biondo

fr. 87 II
...noi...
...
...esse, che hanno lasciato...
...invocazioni...
...trecce...
...
...uomini...
...danno...

fr. 87 VIII
...angoscia...

fr. 87 IX
...lava...

fr. 87 XI
...audacia...

fr. 87 XII
...ciò che vuole... [?]

fr. 87 XIII
...gioventù, dolce frutto...

fr. 87 XVI
...
...regina...
...grande...

fr. 87 XVII
...a te... [?]
...Telesippa...

fr. 87 XVIII
...in nessun modo...
...so...

fr. 87 XXIII
...sabbia...(?)

fr. 88

a
ἐμ[
το̣ῦ̣[
κ[
σε[
<>ἠ[
α[
φιλη̣[
κᾶλ.[
ἐστ.[
.]χ̣α̣[

b
[ ].[
[ ].μαν̣ πρ̣ο̣..[
[ ].ο.νως πρὸς πό̣τ̣[
[οὐ δύ]νατον χάλα[
[ ].ρ.ἐθέλοις. οὐ δυ̣[
[ ].άσδοισ' ὀλιγα[
[ ].ένα φέρεσθα[ι
[ ].φατις...[
[ ].θεν ουδ' ἄδιον εἰσορ[
[ ].συνίησθα καὔτα·
[ ].λέλ̣αθ' ἀλλ᾽ονία[
[ὀ]νίαισαν· τί ρ᾽αδ[
[ ]α̣ί̣ τις εἴποι
[ ].σαν· ἔγω τε γὰρ[
[ ]μ̣' ἇς κεν ἔνη μ'[
[ ]α̣ι μελήσην·[
[ ]φίλα φαῖμ' ἐχύρα γέ[νεσθαι
]α[.]μενα[.]αις· ἀ.[
..δ' ὀνίαρ̣[ο]ς[
.πίκρος ὔμ[
]ω τάδε θᾶσ[
.α̣ τόδε δ' ἴσ̣[θ(ι)
]. ὤττι σ' ἐγ.[
]α φιλήσω[
[ ].ω τι̣ λο[
[ ]σσον γὰρ .[
]σ̣θαι βελέω[ν
..[

fr. 88 A

Pap. Oxy. 4411 fr. 58
τ]υχα[
]θυμ̣[

fr. 67
ὀ]νίαν

fr. 84
]εν[
σ]μῖκ[ρ
]θαρ.α.ε[
ἀ]λάθειαν τι[
]λην ἄϊ φαῖ[

fr. 85
]ν καμ̣[
]ω θυ[μ-
]ως[

fr. 88

a-b
...
...
...verso...
...non è possibile allentare...
...vuoi forse: né è possibile [?]...
...concedendo poco...
...essere portata...
...voce...
...né più soave a mirarsi...
...comprendevi tu stessa...
...dimentica; ma angoscia...
te... angosciata; ma che cosa di [più] dolce...?
...si potrebbe dire...
...io in effetti...
ami... fino a che in me sia...
anche altri... curarsi...
è possibile... dico di essere un'amica fidata...
...con gioia [?]...
...angoscioso...
...amaro [per] voi...
...questo finché...
...questo sappi...
...quel che a te io...
...amerò...
...qualcosa...
...tanto più, infatti...
...di dardi...
...

fr. 88 A

Pap. di Ossirinco 4411 fr. 58
...sorte... [?]
...anima...

fr. 67
...angoscia...

fr. 84
...
...piccola...
...
...verità...
...sempre dico...

fr. 85
...anche...
...animo...
...come...

fr. 90 I

col. 2
]Κυθερήας τρόφος[
πειθὼ .[
ὔμ[ ].[.]θ̣έλοισα[..].[
ἄμμι ἄγγ[ελος]
λεγ'ο.μμε[ ]
θελετ̣ε̣[ ]
χερρεσ[
]τανυπτερυγ[

col. 3
Γυριννη[
ἔγω τὸ κάλλος ἐπετ.[
μέ<σ>δον
μοι ζεφύρω πνεῦμα[
σοὶ δ' ἀνε[μο]φόρητο[
]ς παϊ̈ τας μ[
Ἀνδρομέδαν (?)

fr 90 III

ἔ]σλον
]κρέσσον γὰ[ρ

fr. 90 IV

ν̣οημμα α[

fr. 90 Xa

[ ].ι θυμ̣[
[ ].τοτη...[
.α μένην [
και χαριε̣.[
[ ]Ἀτθιδος[

fr. 90 Xb

[ ].[
Ἀτ]θι γλυ[κεῖα[168]
ταεν[
[ ]σ̣...[

fr. 91

ἀσαροτέρας οὐδάμα π' Ὠϊρανα σέθεν τύχοισαν

fr. 92 *ΣΑΠΦΟΥΣ ΜΕΛΩΝ Ε*

[
[
π̣ε̣[
κρ[.....]περ[
πέπλον[...]πυ̣σ̣χ[
καὶ κλ̣ε̣[..]σαω[
κροκόεντα[
πέπλον πόρφυ[ρ.....]θ̣εξῳ[.]
χλαίναι περσ̣[

fr. 93

[ ]αλιαν̣ ε̣χω
]παρθένων
[ ]μοις

[168] Treu.

fr. 90 I

col 2
...alunna di Citerea...
...Persuasione...
...volendo...
...per noi messaggero...
...a noi diceva...
...volete...
...con mani...
...ad ali distese...

col. 3
...Girinno...
...io la bellezza...
...[bene] più grande...
...a me soffio di Zefiro...
...a te banderuola al vento...
...ragazza...
...Andromeda...

fr. 90 III
...nobile...
...preferibile, già...

fr. 90 IV
...pensiero...

fr. 90 Xa
...animo...
...
...restare...
...e graziosa...
...di Attide...

fr. 90 Xb
...
...Attide dolce...
...
...

fr. 91
Nessuna più di te noiosa, Irene, mai m'è capitata.

fr. 92 *LIBRO V*
...
...
...
...
peplo...
e Cleide...
color del croco...
peplo di porpora...
manti di Persia...

fr. 93
...ho
...di ragazze

στέφανοι περ[
καλ[.]ο̣σ̣σ̣α̣μ̣[
φρυ[
πορφ[υρ
τ̣α̣π̣α̣[
[
π[

fr. 94

τεθνάκην δ' ἀδόλως θέλω·
<>ἄ με ψισδομένα κατελίμπανεν
πόλλα καὶ τόδ' ἔειπ[έ μοι
ὤιμ' ὡς δεῖνα πεπ[όνθ]αμεν,
Ψάπφ', ἦ μάν σ' ἀέκοισ' ἀπυλιμπάνω.
τὰν δ' ἔγω τάδ' ἀμειβόμαν·
χαίροισ' ἔρχεο κἄμεθεν
μέμναισ', οἶσθα γὰρ ὤς σε πεδήπομεν·
αἰ δὲ μή, ἀλλά σ' ἔγω θέλω
ὄμναισ' αἰ[σύ ν(υ)ν] ἄ[χν(υ)]σαι[169]
ὄσ[σα μόλθακα] καὶ κάλ' ἐπάσχομεν·
πο[λλοις γὰρ στεφάν]οις ἴων
καὶ βρ[όδων κρο]κίων τ' ὔμοι
κα..[ ] πὰρ ἔμοι περεθήκαο
καὶ πό[λλαις ὑπα]θύμιδας
πλέκ[ταις ἀμφ' ἀ]πάλᾳ δέρᾳ
ἀνθέων ἔ[βαλες] πεποημμέναις
καὶ πόλλῳ [λιπάρω]ι[170] μύρωι
βρενθείωι.[ ]ρυ[..]ν
<>ἐξαλείψαο κᾳ[ὶ βασ]ιληΐωι
καὶ στρώμν[αν ἐ]πὶ μολθάκαν
ἀπάλαν πα.[ ]...ων
ἐξίης πόθο[ν νε]ανίδων[171]
κωὔτέ τις[χόρος[172] οὔ]τε τι
ἶρον οὐδυ[ ]
<>ἔπλετ' ὄππ[οθεν ἄμ]μες ἀπέσκομεν,
οὐκ ἄλσος .[ ].ρος
[κροτάλων[173]]ψόφος
<>[ ]...οιδιαι

169 Kamerbeek.
170 Vogliano. Blass, θάμακις.
171 Lobel.
172 Diehl.
173 Theander.

corone...
bei...
frigi...
porpora...
tappeti...
...
...

fr. 94
"Fossi già morta. Davvero, lo voglio."
Lei da me con quei singhiozzi
si staccava. Tante parole. E questo:
"Che assurda sofferenza nostra,
Saffo. Contro me stessa, io ti sto lasciando."
E a lei io rispondevo:
"Cara, buon viaggio. Pensa
a me. Sai quanto t'ero vicina.
Forse non sai. Allora sarò io a farti
ricordare, se sei in angoscia,
tenerezze e gioie di quei momenti nostri.
Quante ghirlande di viole
e rose e crochi insieme...
accanto a me cingevi
e mille intrecci, nodi
di fragranze al collo delicato
ti mettesti, composizioni floreali,
e con lucente fragranza a profusione
d'alto prezzo...
ti profumavi, da regina,
e su letti soffici...
fragile...
ti liberavi da passione...
non c'era danza
né rito...
dove mancassimo, noi
né boschetto...
...musica di crotali
...

fr. 95

ἦρ' ἀ[
<>Γογγυλα.[
ἦ τι σᾶμ' ἐθε.[
παισι μάλιστα.[οὐ γὰρ]
<Ἔρ>μας[174] γ' εἴσηλθ' ἐπ.[
εἶπον· ὦ δέσποτ', ἐπ.[
ο]ὐ μὰ γὰρ μάκαιραν[
<>ο]ὐδὲν ἄδομ' ἔπαρθ' ἀγα[
κατθάνην δ' ἵμερός τις [ἔχει με καὶ
λωτίνοις δροσόεντας [ὄ-
<>χ[θ]οις ἴδην Ἀχερ[
.]..δεσαιδ'.[
.]..δετο.[
<>μητισε[

fr. 96

[ἐνὶ]Σάρδε[σι][175]
[ναίει, πόλ]λακι τυίδε [ν]ῶν ἔχοισα
ὤς πο[τ' ἐ]ζώομεν[176], β[εβά]ως ἔχ[εν][177]
σε θέαις ἰκέλαν, Ἀρι-
γνωτα, σᾷ δὲ μάλιστ' ἔχαιρε μόλπᾳ·
νῦν δὲ Λύδαισιν ἐμπρέπεται γυναί-
κεσσιν ὥς ποτ' ἀελίω
δύντος ἀ βροδοδάκτυλος <σελάννα>
πάντα περ<ρ>έχοισ' ἄστρα· φάος δ' ἐπί-
σχει θάλασσαν ἐπ' ἀλμύραν
ἴσως καὶ πολυανθέμοις ἀρούραις·
ἀ δ' <ἐ>έρσα κάλα κέχυται τεθά-
λαισι δὲ βρόδα κἄπαλ' ἄν-
θρυσκα καὶ μελίλωτος ἀνθεμώδης·
πόλλα δὲ ζαφοίταισ' ἀγάνας ἐπι-
μνάσθεισ' Ἄτθιδος ἰμέρωι
λέπταν ποι φρένα κ[ᾶ]ρι σᾷ[178] βόρηται·
κῆθι δ' ἔλθην ἀμμ.[..]..ισα τό δ' οὐ
νῶντ' ἄ[κο]υστον, ὔμ[ως][179] πόλυς
γαρύει [δ(ι)'ἄλος[180][.....(.)].ο μέσσον·
ε]ὔμαρ[ες μ]ὲν οὐκ ἄμμι θέαισι μόρ-

174 Blass.
175 Edmonds. Blass: ἀπὺ Σαρδίων.
176 Blass. Wilamowitz: πεδεζ-.
177 Wilamowitz ap. Schubart[2].
178 Page. Kamerbeek: καρτερῷ.
179 Theander.
180 Schubart[2] dub.

fr. 95
davvero...
Gongila...
sì, un segno...
assolutamente...
Hermes entrò...
dissi: "Altezza...
no, per la miracolosa... Quanto a me
non godo restare in questo mondo,
mi prende quasi un desiderio d'esser morta,
di scorgere imperlati loti
su coste d'Acheronte..."
...
...
...nessuno [?]

fr. 96
...a Sardi
abita e mille volte il suo pensiero è qui
per come si viveva un tempo: suo saldo possesso
tu, simile a dea, Arignota:
erano per lei gioia assoluta le tue canzoni.
Oggi fra donne dell'oriente
come in crepuscolo di sole
plenilunio dita rosa
svetta tra totalità di stelle; e sono lastre
luminose su salsedine di mare,
su fiorite distese nei poderi
sgocciolio stupendo di rugiade, rose
esplose, sottili infiorescenze
odore dolce di trifoglio.
Quanti inquieti passi, sempre
con in testa Attis cara, causa il desiderio!
Cuore delicato, il suo, smangiato dalla tua vicenda;
andar laggiù, noi... questo non
pensando credibile: eppure molto
mare canta... nel mezzo.
Facile non è per noi

φαν ἐπή[ρατ]ον ἐξίσω-
σθαι συ[..]ρ̣ος ἔχησθ' ἀ[..(.)].νίδηον
[ ]τ̣ο̣ [...(.)]ρατι-
μαλ[ ].ερος
καὶ δ[.]μ̣[ ]ος Ἀφροδίτα
καμ̣[ ] νέκταρ ἔχευ' ἀπὺ
χρυσίας [ ]ν̣αν
<>...(.)]απουρ̣[ ] χέρσι Πείθω
[ ]ες τὸ Γεραίστιον
[ ]ν̣ φίλαι

fr. 97

αερ[
περα[
κυ̣[
σιν[
συ δ'..[
τ̣ο̣υ..[.υπνου

περιπτερα[
.]νιαν ελεφαν̣[

fr. 98a
..].θος· ἀ γάρ με γέννα̣[
.].ας ἐπ' ἀλικίας μεγ[
κ]όσμον αἴ τις ἔχη<ι> φόβα.[
π̣ορφύρ̣ωι κατελιξαμε[ν
ἔμμεναι μά̣λα τοῦτο .[
ἄλλα ξανθοτέρα<ι>ς ἔχη[
σα<ὶ>ς κόμα<ι>ς δάιδος προ[
σ]τεφάνοισιν ἐπαρτια[
ἀνθέων ἐριθαλέων· [
μ]ι̣τράναν δ' ἀρτίως κλ[
π̣οικίλαν ἀπὺ Σαρδίω[ν
...]Ἰαονίας πόλεις [

fr. 98b
σοὶ δ' ἔγω Κλέι ποικίλαν [
οὐκ ἔχω πόθεν ἔσσεται [
μιτράν<αν>· ἀλλὰ τὼι Μυτιληνάωι [
. . .
[ ].[
παι.α.ειον ἔχην πο.[
αἰκε̣.η ποικιλασκ...(.)[

equipararci a dee
in incanto di figure...
...
...
e Afrodite
nettare versava da...
dorata...
...con le mani Seduzione
al Geresto...
...amate...

fr. 97

sollevare...
sopra...
tu però...
del... sonno...

ali intorno...

...d'avorio...
...

fr. 98a
...lei, che m'ha dato vita...
che in tempi suoi, grande
eleganza era chiudersi i capelli
in rosso di conchiglia
così, proprio...
Ma se la ragazza ha riccioli
più rossi d'una fiamma...
coroncina
di petali maturi, è il modo.
E oggi tu, cuffietta
arcobaleno, fatta a Sardi...
città d'Asia

fr. 98b
Io, per te, Clèide, quella
cuffietta arcobaleno non ho mezzi
per prenderla. Ma il modello Mitilene...
. . . . . .
...
...avere...
...ricamo vario...

ταῦτα τὰς Κλεανακτιδα̣[
φύγαϲ̣..ι̣ϲαπολισεχει†
μνάματ'· .ἴδε γὰρ αἴνα διέρρυε̣[ν

fr. 99 col. 1

a) .].γα.πεδαβαιο̣[ ].α
.[.]οι Πωλυανακτ[ιδ]α..[
...αισσαμιασι.ι̣ε.[.]το̣ισ....[.]
χόρδαισι διακρέκην
ο̣λ̣ι̣σ̣β̣οδόκοι̣σι πεπκαθθ...μενος
τεούτ[οι]σι φιλοφ[ρό]νως
....ϲ δ' ἐλελίσδ[ε]ται προ̣τ̣άνε̣ως
[ ]ωνος δὲ διο[..]ων
[ ].υαλ̣ωδ'.[.]..ε̣νη̣τ̣ε̣[..].χ..
b) [Λάτως] τε καὶ Δι[ὸς]πάϊ[.][181]
[ ]..ε...[.]ἔπιθ' ὀργίαν[
[Γρύνηαν] ὐλ̣ώδ̣ην λίπ̣ων
[καὶ σὸν κλύτ]ον χρ̣η[σ]τ̣ήριον
[ ].[ ].ε̣υμεσ̣[..].[.]ων
[ ]....[.....]
[ ].....α[μ]ε̣ραις
τ[ ]
[πύ]ρσανον [.] ὀργίαν
[ ]υ̣σομεν [ ]
[ ]ν ὔμνε[ ]
κ̣α̣[ ]ε̣να̣[.]φο.[...]ν.αδελφέαν
ωσπαι[ ].ι̣ο̣.[...].[ ]
.υτισδε̣[...]κει̣.θε̣λη[ ]
δειχ̣υ̣υσ[...]ε δηὖτε Πολ̣υανακτίδαν
τὸν̣ μάργον̣ ὄν̣ δειξαι θέλω

fr. 99 col. 2

..στ̣ο̣σ.[
F..πα[
ωνηρ[
καὶ φαισ[
ταὶς παι[
ἄκρω δ[
φοίταιμ[
.].τ̣αισε[
[ ]..[
ξύσα[
αὐτανε[

[181] Snell.

questi ricordi dell'esilio
dei Cleanattidi...
...terribile desolazione

fr. 99 col. 1
a) ...poco dopo...
...il figlio di Polianatte...
...Samia...
...risuonare con le corde
che accolgono il bischero...
con costoro in tutta amicizia...
...vibra piacevole...
...
...
b) ...Figlio di Leto e Zeus...
...accostati al rito...
...lasciata Grinea boscosa...
...e il tuo glorioso oracolo...
...
...
...giorni...
...
...arrossa... il rito
...
...cingi d'inno...
...sorella...
come figlia...
...voglia...
mostra... di nuovo il figlio di Polianatte
grossolano voglio stigmatizzare...

fr. 99 col. 2
...
...
quell'uomo...
e dice...
le figlie...
dell'alto...
mi aggiro...
...
...
raschiando...
quella...

ἀγκωνα[
εκπάϊσ'ο[
ουτο[
ταν[
ωσδ[
αιμ'ο.[
πίκρ[
[
..]σ.[
εὖ ο[ῖ]δα.[
αὐαδεσ[
κἀκ πτ.[
ὦ παιδ[
ἠ μὰν.[

fr. 100
ἀμφὶ δ' ἄβροισ' ... λασίοισ' εὖ <ϝ>'ἐπύκασσε ...

fr. 101
χερρόμακτρα δὲ κὰγ γόνων
πορφύρα κὰτ ἀϋτμενα
τά τοι Μ<ν>άσις ἔπεμψ' ἀπὺ Φωκάας
δῶρα τίμια Μαόνων[182]

fr. 101 A
τερύγων δ' ὔπα
κακχέει λιγύραν <πύκνον> ἀοίδαν, <θέρος> ὄπποτα
φλόγιον κατὰ γᾶν πεπτάμενον <πάντα> καταυάνηι[183]

fr. 102 *ΣΑΠΦΟΥΣ ΜΕΛΩΝ Ζ*
γλύκηα μᾶτερ, οὔτοι δύναμαι κρέκην τὸν ἴστον
πόθωι δάμεισα παῖδος βραδίναν δι' Ἀφροδίταν

fr. 103 *ΣΑΠΦΟΥΣ ΜΕΛΩΝ Η*
.εν τὸ γὰρ ἐννεπε[.]η προβ[
.ατε τὰν εὔποδα νύμφαν [
[ ]τα παῖδα Κρονίδα τὰν ἰόκ[ολπ]ον [
.ς ὄργαν θεμένα τὰν ἰόκ[ολ]πος α[
[ ]..ἄγναι Χάριτες Πιέριδέ[ς τε] Μοῖ[σαι
[ ].[. ὄ]πποτ' ἀοιδαι φρέν[...]αν.[
[ ]σαιοισα λιγύραν [ἀοί]δαν
[γά]μβρον, ἄσαροι γὰρ ὐμαλικ[

[182] Per le proposte di correzione vd. nota al frammento.
[183] Per le sanature testo ci siamo rifatti a Tedeschi 2015 p. 67.

braccio...
...
...
...
profumo...[?]
...
amaro
...
...
so bene
spiacevole...
e fuori da...
giovane...
davvero...

fr. 100
Con morbide pellicce la velava.

fr. 101
veli lunghi fino alle ginocchia
rosso cupi profumati
che Mnasi ti mandò da Focea
regali raffinati

fr. 101 A
...sotto le elitre
la cicala riversa di continuo il canto limpido
mentre vola sul mondo e tutto asciuga l'estate arida

fr. 102 *LIBRO VI*
Dolce mammina, non ho più forza di battere il telaio.
Mi piega la passione del ragazzo: è Afrodite che mi sfibra.

fr. 103 *LIBRO VII*
...certo... esprimere...
...lei, la sposa dal gentile andare...
...figlia di Zeus, col suo velo azzurro;
contenendo il suo risentimento... velo azzurro...
magiche Grazie, e Muse della Pieria...
...quando melodie il sentimento...
...udendo il canto di cristallo...
...sposo, sconfortanti

[ ]σε φόβαισι θεμένα λύρα.[
[ ]..η χρυσοπέδιλ<λ>[ο]ς Αὔως [

fr. 103 A

a

c. I
]
]θην
]οις
]
]οι
]
]
]
]

c. II
σμικρ[
τὰν σφ[
πολλα[
πρὶγ γα[
πόλλαισ[
τῶν σφῶ[ν
ὠδαμελ[
χει[
Γόργ[

b

εἰς Κυπ[

fr. 103 B

]ρηον θαλάμω τωδεσ[
]ις εὔποδα νύμφαν ἀβ[
].νυνδ[
]ν μοι.[
]ας γε.[

fr. 103 C

1. (**fr. a Voigt**)
]προλ[
]φερην[
].ιδεθελ[
Αρ]χεάνασσα[
]δήποτ'ὀνα[
μ]νασάμεν[αι
]εν επηρατ[
]ν[

2.
].αΐδε κόρ[

3.
]επ'ἰσ[

4. (**fr. b Voigt**)
]α.[
ἔ]κλυον ἐ[
Κ]ραννίαδες[184] δ[
παρ]θενικαὶς.[

5.
]λυ[
]μελ[

[184] Lobel.

...capelli, lei che poggia l'arpa...
...Alba dai sandaletti d'oro..

fr. 103 A
a

c. I
...
...
...
...
...
...
...
...
...

c. II
piccolo...
la propria...
molte cose...
prima che in verità...
molte...
di loro...
...
tempesta [?]...
Gorgò...

b
a Cipro...

fr. 103 B
...di questo talamo...
...sposina dal piede grazioso...
...ma ora...
...per me...
...certo...

fr. 103 C
1. (**fr. a Voigt**)
...prima...
...portare...
...vuole...
...Archeanassa...
...un tempo...
...ricordando
...amabile...
...

2.
...queste fanciulle [?]

3.
...alla pari... [?]

4. (**fr. b Voigt**)
...
udii...
Cranniadi...
Ragazze...

5.
...sciogliere...[?]
...miele...[?]

fr. 104a *ΣΑΠΦΟΥΣ ΕΠΙΘΑΛΑΜΙΑ*
Ἔσπερε πάντα φέρων ὅσα φαίνολις ἐσκέδασ' Αὔως,
φέρεις ὄιν, φέρεις αἶγα, φέρεις ἄπυ μάτερι παῖδα.

fr. 104b
ἀστέρων πάντων ὀ κάλλιστος

fr. 105a
οἷον τὸ γλυκύμαλον ἐρεύθεται ἄκρωι ἐπ' ὔσδωι,
ἄκρον ἐπ' ἀκροτάτωι, λελάθοντο δὲ μαλοδρόπηες,
οὐ μὰν ἐκλελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐπίκεσθαι

fr. 105c
οἷαν τὰν ὐάκινθον ἐν ὤρεσι ποίμενες ἄνδρες
πόσσι καταστείβοισι, χάμαι δέ τε πόρφυρον ἄνθος ...

fr. 106
πέρροχος, ὡς ὄτ' ἄοιδος ὀ Λέσβιος ἀλλοδάποισιν

fr. 107
ἦρ' ἔτι παρθενίας ἐπιβάλλομαι;

fr. 108
ὦ κάλα, ὦ χαρίεσσα

fr. 109
δώσομεν, ἦσι πάτηρ

fr. 110a
θυρώρωι πόδες ἐπτορόγυιοι,
τὰ δὲ σάμβαλα πεμπεβόηα,
πίσσυγγοι δὲ δέκ' ἐξεπόναισαν

fr. 111
ἴψοι δὴ τὸ μέλαθρον·
ὐμήναον·
ἀέρρετε τέκτονες ἄνδρες·
ὐμήναον.
γάμβρος εἰσέρχεται ἴσος Ἄρευι,
ἄνδρος μεγάλω πόλυ μέζων.

fr. 112
ὄλβιε γάμβρε, σοὶ μὲν δὴ γάμος ὡς ἄραο
ἐκτετέλεστ', ἔχηις δὲ πάρθενον ἀν†ἄραο ...

fr. 104a *EPITALAMII*
Vèspero, che raduni le cose disperse da diafana alba,
porti agnello, porti capra, porti indietro – a madre – figlio.

fr. 104b
Tra astri tutti il più stupendo.

fr. 105a
Lei è la dolce mela, che s'arrossa in cima al ramo,
e svetta. Mancarono d'osservazione i coglitori.
Ma no. Non fu inosservata. Non poterono toccarla.

fr. 105c
Lei, come giaggiolo in monte i pecorai
sfondano coi passi, e in terra fiore acceso...

fr. 106
Spicca, come quando musico di Lesbo ai forestieri...

fr. 107
Ancora farmi attrarre, io, da verginità?

fr. 108
Amore mio, o cara...

fr. 109
Daremo, parola di padre.

fr. 110a
Il guardiaporta ha piedi settetese,
cinque vacchette per le sue scarpette,
dieci scarpari hanno sudato.

fr. 111
In aria lo stipite
– viva gli sposi! –
alzate, muratori!
– viva gli sposi! –
Ecco qui lo sposo: pare Dio di Guerra,
d'uomo grosso, più, più grosso.

fr. 112
Fortunato sposo! Lo sposalizio che sognavi
è cosa fatta! Possiedi la ragazza che sognavi.

σοὶ χάριεν μὲν εἶδος, ὄππατα δ' ἔστι, νύμφα[185],
μέλλιχ', ἔρος δ' ἐπ' ἰμέρτωι κέχυται προσώπωι
..... τετίμακ' ἔξοχά σ' Ἀφροδίτα

fr. 113
οὐ γὰρ
ἀτέρα νῦν πάις, ὦ γάμβρε, τεαύτα

fr. 114
(νύμφη). παρθενία, παρθενία, ποῖ με λίποισα οἴχηι;
(παρθενία). οὐκέτι ἥξω πρὸς σέ, οὐκέτι ἥξω.

fr. 115
τίωι σ', ὦ φίλε γάμβρε, κάλως ἐικάσδω;
ὄρπακι βραδίνωι σε μάλιστ' ἐικάσδω.

fr. 116
χαῖρε, νύμφα, χαῖρε, τίμιε γάμβρε, πόλλα ...

fr. 117
χαίροις ἀ νύμφα, χαιρέτω δ' ὁ γάμβρος

fr 117 A
ξοάνων προθύρων

fr. 117 B
a Ἔσπερ' ὑμήναον
b ὦ τὸν Ἀδώνιον

INCERTI LIBRI

fr. 118
ἄγι δὴ χέλυ δῖα †μοι λέγε†
φωνάεσσα †δὲ γίνεο†

fr. 119
αἰμιτύβιον στάλασσον

fr. 120
ἀλλά τις οὐκ ἔμμι παλιγκότων
ὄργαν, ἀλλ' ἀβάκην τὰν φρέν' ἔχω ...

fr. 121
ἀλλ' ἔων φίλος ἄμμι
λέχος ἄρνυσο νεώτερον·

[185] Wilamowitz.

Sei chiara di bellezza, tu. Sguardi hai, sposa,
di miele... Amore che si spande sulle gote
d'incanto... Afrodite t'ha privilegiata.

fr. 113
No,
altra bimba, o sposo, tale...

fr. 114
Sposa – Verginità, verginità, ti stacchi tu da me, dove sparisci?
Verginità – Non verrò più da te, io non verrò, mai più.

fr. 115
Con che bella figura ti penso, sposo mio?
Snello rampicante. Questa la figura...

fr. 116
Felicità, sposina; felicità, o chiaro sposo, immensa.

fr. 117
Sii felice, sposa, e tu felice, sposo...

fr. 117 A
di battenti levigati

fr. 117 B
a Espero, viva gli sposi!
b o Adonio!

fr. 118 *DI LIBRO INCERTO*
Ora, guscio sovrumano, devi parlarmi,
fatti viva voce...

fr. 119
Stillante fazzoletto.

fr. 120
No, non sono io di quelle
vendicative. Ho silenziosi sentimenti, io.

fr. 121
È vero, siamo uniti, tu ed io. Ma ora
prendi una moglie più ragazza.

οὐ γὰρ τλάσομ' ἔγω συνοί-
κην ἔοισα γεραιτέρα ...

fr. 122
ἄνθε' ἀμέργοισαν παῖδ' ἄγαν ἀπάλαν

fr. 123
ἀρτίως μὲν ἀ χρυσοπέδιλλος Αὔως

fr. 124
αὔτα δὲ σὺ Καλλιόπα

fr. 125
αὔτα δ᾽ ὠράα ἐστεφαναπλόκην

fr. 126
δαύοις ἀπάλας ἐτάρας ἐν στήθεσιν

fr. 127
δεῦρο δηὖτε Μοῖσαι χρύσιον λίποισαι ...

fr. 128
δεῦτέ νυν ἄβραι Χάριτες καλλίκομοί τε Μοῖσαι

fr. 129
a .... ἔμεθεν δ' ἔχησθα λάθαν ...
b ἤ τιν' ἄλλον ἀνθρώπων ἔμεθεν φίλησθα ...

fr. 130
Ἔρος δηὖτέ μ' ὁ λυσιμέλης δόνει,
γλυκύπικρον ἀμάχανον ὄρπετον

fr. 131
Ἄθι, σοὶ δ' ἔμεθεν μὲν ἀπήχθετο
φροντίσδην, ἐπὶ δ' Ἀνδρομέδαν πόται

fr. 132
ἔστι μοι κάλα πάις χρυσίοισιν ἀνθέμοισιν
ἐμφέρην ἔχοισα μόρφαν Κλέις ἀγαπάτα,
ἀντὶ τᾶς ἔγωὐδὲ Λυδίαν παῖσαν οὐδ' ἐράνναν ...

fr. 133
ἔχει μὲν Ἀνδρομέδα κάλαν ἀμοίβαν ...
Ὕἀπφοι, τί τὰν πολύολβον Ἀφροδίταν ...;

È un peso questa convivenza, per me,
per me, tanto più vecchia.

fr. 122
Coglieva fiori, bimba stupendamente fresca.

fr. 123
Or ora Aurora sandaletti d'oro.

fr. 124
E tu, sì tu, Callìope.

fr. 125
M'annodavo ghirlande.

fr. 126
Addormèntati su sciolta amante, tra i suoi seni.

fr. 127
Qui, ancora, Muse, lasciando quel dorato...

fr. 128
Ancora, teneri Fascini e Muse, amor di riccioli.

fr. 129
a ...Di me hai solo oblio...
b Forse senti tua altra persona, più di me?

fr. 130
Amore, amore, struggicarne, mi ribatti,
dolcepiccante, vagabondo che non dài quartiere.

fr. 131
Attis, per te io sono subito sgradevole
pensiero. E da Andròmeda tu voli

fr. 132
È mia! Bimba d'amore, che d'accesi fiori
ha bellezza uguale: Clèide adorata.
Per lei io no, intero oriente, né l'incanto...

fr. 133
a Andròmeda ha la bella ricompensa...
b Saffo, perché tu ad Afrodite millegioie...

fr. 134
ζὰ δ᾽ἐλεξάμαν ὄναρ Κυπρογεννα

fr. 135
τί με Πανδίονις, Ὦιρανα, χελίδω ...;

fr. 136
ἦρος ἄγγελος ἰμερόφωνος ἀήδων

fr. 137
θέλω τί τ' εἴπην, ἀλλά με κωλύει
αἴδως .....
αἰ δ' ἦχες ἔσλων ἴμερον ἢ κάλων
καὶ μή τί τ' εἴπην γλῶσσ' ἐκύκα κάκον,
αἴδως κέν σε οὐ κατῆχεν[186] ὄππα-
τ' ἀλλ' ἔλεγες περὶ τὼ δικαίω.

fr. 138
στᾶθι μ᾽ἄντα[187] φίλος
καὶ τὰν ἐπ' ὄσσοισ' ὀμπέτασον χάριν

fr. 139
θέοι δ᾽[ἐπα]ινέσωσ[ιν α]ὐτίκ᾽ἀδάκ[ρυτον[188]
θ̣ε̣[.].[.]η̣λ̣[.]...[ ]ηλα[.....

fr. 140
κατθνα<ί>σκει, Κυθέρη', ἄβρος Ἄδωνις· τί κε θεῖμεν;
καττύπτεσθε, κόραι, καὶ κατερείκεσθε κίθωνας.

fr. 141
κῆ δ' ἀμβροσίας μὲν
κράτηρ ἐκέκρατ'
Ἔρμαις δ' ἔλων ὄλπιν θέοισ' ὠινοχόαισε.
κῆνοι δ' ἄρα πάντες
καρχάσι' ἦχον
κἄλειβον ἀράσαντο δὲ πάμπαν ἔσλα
τὼι γάμβρωι.

fr. 142
Λάτω καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἔταιραι

[186] Schneidewin.
[187] Fick.
[188] Schadewalt.

fr. 134
Ti ragionai in sogno, dea di Cipro.

fr. 135
Perché me, Irene, la rondine, figliola di Pandione...?

fr. 136
Primaverile araldo, voce che innamora, l'usignolo.

fr. 137
Sento di volere dire. Ma mi frena
ritegno...
Se avevi sentimenti alti, e belli,
se la tua lingua non rimestava le malignità,
ritegno non ti possedeva gli occhi
e tu parlavi di diritte cose.

fr. 138
Stai fermo, amore, davanti a me,
spandi fascino di sguardi.

fr. 139
Dèi lodino all'istante uno che non piange...
...

fr. 140
Muore, Citerea, il delicato Adone: che facciamo?
Martoriatevi, ragazze, fate a pezzi vesti.

fr. 141
La grande coppa s'era là colmata
d'immortalità.
Hermes – calice levato – versava per gli dèi.
E quelli tutti insieme
alzavano il bicchiere,
brindavano, auguravano felicità purissima
allo sposo.

fr. 142
Latona e Nìobe erano unite, intime, proprio.

fr. 143
χρύσειοι δ' ἐρέβινθοι ἐπ' ἀιόνων ἐφύοντο

fr. 144
μάλα δὴ κεκορημένοις
Γόργως

fr. 145
μὴ κίνη χέραδος

fr. 146
μήτε μοι μέλι μήτε μέλισσα

fr. 147
μνάσασθαί τινά φαιμι κἄτερον ἀμμέων

fr. 148
ὁ πλοῦτος ἄνευ †ἀρέτας οὐκ ἀσίνης πάροικος
ἃ δ' ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον†

fr. 149
ὅτα πάννυχος ἄσφι κατάγρει

fr. 150
οὐ γὰρ θέμις ἐν μοισοπόλων οἰκίαι
θρῆνον ἔμμεν'· οὔ κ' ἄμμι τάδε πρέποι

fr. 151
ὀφθάλμοις δὲ μέλαις νύκτος ἄωρος ...

fr. 152
παντοδάπαισι μεμειχμένα χροίαισιν

fr. 153
πάρθενον ἀδύφωνον

fr. 154
πλήρης μὲν ἐφαίνετ' ἀ σελάννα
αἱ δ' ὡς περὶ βῶμον ἐστάθησαν

fr. 155
πόλλα μοι τὰν Πωλυανάκτιδα παῖδα χαίρην

fr. 143
Oro erano i ceci spuntati dalla sabbia.

fr. 144
Gente già nauseata un sacco
da Gorgo.

fr. 145
Non smuovere pietrisco: mai!

fr. 146
Per me né miele, né ape di miele.

fr. 147
Ci ricorderanno anche altri: io lo giuro...

fr. 148
Il soldo, se non c'è il valore, è non innocuo convivente;
fondili, soldo e valore, e avrai la somma di felicità.

fr. 149
Quando la notturna veglia li cattura.

fr. 150
Non c'è posto da noi, sacerdoti di Poesia,
per la lagna in versi: non è cosa nostra.

fr. 151
Sugli occhi, nero sonno della morte...

fr. 152
Intrisa d'ogni tinta strana.

fr. 153
Ragazza, voce di soavità.

fr. 154
Intera – spettacolare – era la luna, ed esse
stettero, cerchio fermo intorno all'ara.

fr. 155
Da parte mia, tante care cose alla figliola di Polianatte.

fr. 156
πόλυ πάκτιδος ἀδυμελεστέρα ...
χρύσω χρυσοτέρα ...

fr. 157
πότνια Αὔως

fr. 158
σκιδναμένας ἐν στήθεσιν ὄργας
πεφύλαχθαι γλῶσσαν μαψυλάκαν

fr. 159
(*Venus loquitur*)
... σύ τε κἄμος θεράπων Ἔρος

fr. 160
τάδε νῦν ἑταίραις
ταὶς ἔμαις τέρπνα κάλως ἀείσω

fr. 161
Τάνδε φυλασσετε ἐννε[..]οι γ̣άμβροι [.....]υ πολίων βασίλης

fr. 162
τίοισιν ὀφθάλμοισι(ν);

fr. 163
μέλημα τῶμον

fr. 164
τὸν Fὸν παῖδα κάλει

fr. 165
φαίνεταί Foι κῆνος

fr. 166
φαῖσι δή ποτα Λήδαν ὐακίνθινον †πεπυκάδμενον
εὕρην ᾠιον

fr. 167
ὠίω πόλυ λευκότερον

fr. 168
ὦ τὸν Ἄδωνιν

fr. 168 A
Γέλλως παιδοφιλωτέρα

fr. 168 B
Δέδυκε μὲν ἀ σελάννα
καὶ Πληΐαδες, μέσαι δὲ

fr. 156
Cantante assai più dolce d'arpa...
più d'oro d'oro...

fr. 157
Santa Aurora.

fr. 158
Con quella rabbia che mi esplode dentro,
incatenare lingua che latra senza senso.

fr. 159
(Parla Afrodite)
...tu, e il mio servente, Amore.

fr. 160
Ora, per voi, mie amate,
canterò bellissime dolcezze.

fr. 161
Voi la custodite... voi, gli sposi... re di città

fr. 162
Con che occhi?

fr. 163
Mio pensiero fisso, tu.

fr. 164
Chiama il bimbo suo.

fr. 165
Quello a sé pare.

fr. 166
Dicono che un giorno Leda trovò un uovo
color giacinto, ben coperto.

fr. 167
Molto più lucente d'uovo.

fr. 168
Oh, mio Adone.

fr. 168 A
Lei che ama i ragazzi più di Gello.

fr. 168 B
Calata è la mia luna
e Plèiadi: mezza notte.

νύκτες, πάρα δ᾽ ἔρχετ᾽ ὥρα·
ἔγω δὲ μόνα κατεύδω.

fr. 168 C

ποικίλλεται μὲν
γαῖα πολυστέφανος

frr. 169-192

ἀγαγοίην – Αἴγα – ἄκακος – ἀλγεσίδωρος – ἀμαμάξυδ(ος, ες) – [ἀμάρα] – αὗα – βάρβιτος. βάρωμος. βάρμος. – βεῦδος – γρύτα –Ἔκτωρ – ζάβατον – ἰοίην – κατώρης s. κατάρης – κίνδυν – μελίφωνοι / μελλιχόφωνοι – Μήδεϊα – Μοισάων – μυθόπλοκος – νίτρον – πολυίδριδι – σέλινα – χρυσαστράγαλοι φίαλαι

Scivolano ore.
Io qui nel letto. Sola.

fr. 168 C
È tavolozza
la terra piena di ghirlande.

frr. 169-192 *Glossemi*
condurrei – Ega – senza danno – Doni di dolore (Eros) – vigne tenute da due pali – canale – aurora – barbito, baromo, barmo – beudo – cassa del trucco – Ettore – valicabile – andrei – raffica impetuosa – rischio – voci-di-miele / miele nella voce – Medea – delle Muse – Eros canta-storie – nitro – al molto esperto – sedani – calici d'oro

Alceo

Alceo nacque a Mitilene, isola di Lesbo, e fu contemporaneo di Saffo cui rivolse un toccante elogio ("ciocche viola, immacolata Saffo, labbra di dolcezze...") e di Pìttaco, considerato uno dei Sette Sapienti, ma esecrato dal poeta lirico, che ne fu acerrimo nemico politico. L'acredine politica pervade i versi di Alceo. Un critico antico, Dionigi di Alicarnasso, affermò che le sue canzoni, tolto il ritmo musicale, si rivelavano per quello che erano: manifesti oratorî di puro, rovente odio politico. A Mitilene, in quei tempi, si scontravano le fazioni aristocratiche, assetate di primato. Alceo era tra i contendenti. Subì esilio e confino. Le sue bestie nere erano Melancro, Mìrsilo, Pìttaco, un ex alleato che, secondo lui, si era macchiato di ripugnanti voltafaccia, aggravati da spergiuro. Lo schema politico più aborrito era la tirannide, fatale sbocco storico della lotta tra potentati nobiliari. Accadeva infatti che un personaggio, appoggiandosi al popolo, estenuato dalle angherie dei maggiorenti, schiacciasse le fazioni e stabilisse una pacificazione inquieta e provvisoria nel segno della sua autorità personale. In attesa di essere abbattuto da nuove scosse. Un verso di Alceo, in cui il poeta confessa di avere "ingrigito petto", è interpretato come documento di un'esistenza protrattasi fino a tarda età. Il simposio è il quadro di riferimento della poesia alcaica. Un crogiolo di rancori personali, di ambizioni e di speranze, ora accese, ora infrante dalle circostanze, fermenta nei ritmi delle poesie. I destinatari sono i compagni dell'ἑταιρεῖα, l'eterìa, la confraternita politica. Questa condizione determina complicità e allusività dei testi, abolendo la necessità di precisare fatti e protagonisti, tutti ben noti sia all'autore, sia alla cerchia di ascoltatori.

Un vissuto incandescente trapela da ogni verso, senza che lo scatto dell'ira o il fervore politico inquinino la lucidità dell'espressione, anche quando sentiamo Alceo proclamare che il vino deve scorrere, che l'ebbrezza è il rimedio principe all'amaro della vita e che gli dèi, come ai tempi di Omero, si schierano anch'essi a fianco dei contendenti, favorendo i beniamini e colpendo gli avversari. Le frasi si connettono con freschezza, in disegni paratattici, di facile consumo, con la raffinata energia dello slogan, del proclama, dell'anatema contro i bersagli odiati.

Un primo interesse scolastico per l'opera di Alceo si deve ad Aristotele, che se ne servì come fonte per tracciare la storia politica di Mitilene. In seguito, Aristofane di Bisanzio e Aristarco produssero edizioni dei testi alcaici nella biblioteca di Alessandria. Le poesie furono raccolte in un numero di libri che gli studiosi indicano in 10, perché nessuna citazione di testi alcaici supera numericamente questa soglia. La lunghezza di ogni libro era di 800/1000 versi. È probabile che la divisione in libri rispecchiasse una partizione tematica. Sappiamo che il primo libro era di tenore religioso. La lingua di Alceo è il dialetto eolico affine a quello di Saffo.

Testo greco di riferimento: Eva M. Vogt, Sappho et Alcaeus*, Amsterdam 1971; David A. Campbell,* Greek Lyric I, Sappho – Alcaeus*, Loeb Classical Library, 1982; G. Liberman,* Alcée, fragments voll. I-II*, Paris 1999.*

fr. 1

[ ]ν· πάντα δὲ να[
[ ] ἀπόλλυται· κ̣[
[ ]σι καίεται[2] πο[
[]κρετεῳ̣[..].[
[οὐ λάμ]πρα[3] πειṣομαι[
[]ε μέμπτον ὠ[
. . .
[].[ ].φθό[
[ ]ν’ ὔμω[ς

fr. 2a

[ἀπολελείππε]νον.[1]
[]λιασ[θε-
[]ṣ κάκον[

fr. 2b

[ἄ]ρματ[

fr. 3

[]ε πότνιαν
[πολε]μάδο̣κ̣ο̣ν
[ ]ννέχει
[οὐκ ἀν]ώννυμον[4].
[Φ]ἄρον[5]

fr. 4a

[ ]τ̣α μεγαλ[

fr. 4b

ἀλ]λ᾽ ἀγίτω[6][
[οὐκ ἀ]δίκως.

fr. 5

[ ]....[ ]φρέ[ν]ας
[ἄλλαις κὶ μι]άραις[7] ἔχηι·
[ ]εῦ πρὸς μακάρων θ̣έων̣[
[ ]νομ̣̣[..]τοισ[ι] θαρ̣ος κ.[
[μ]ενέτω[8] μηδὲ πονήμε[ν]ο̣ι
ζαλλευόντο]ν ἀείκεα.
[ ]τι[.] κεκρ[ί]μενος γάμει
[ ]κε ξυστοφο[ρή]με[νος
[ ].ακ᾽ αὔταν γλυκ̣έως [
[σκάπτρον ὡς[9] βα]σίλευς ἔχην.
[ ]εκα πόλλασ[.]πᾳ.αμ..α[
[ ]ι μένην· α̣[ἰ γὰ]ρ[10] ἔμοι τότα

1 Libermann.
2 Libermann.
3 Libermann.
4 Hunt (ο ἐπώννυμον).
5 Libermann.
6 Lobel.
7 Libermann.
8 Hunt e.g.
9 Theander.
10 Hunt.

fr. 1
...tutto...
...è sfascio...
...arde...
io prevalgo...[?]
sopporterò non fulgidi eventi...
disdicevolmente...
...
invidia [?]
...ugualmente...

fr. 2a
...disertato
...sviato...
...vile...

fr. 2b
...carri... [?]

fr. 3
...forza...
[Atena] guerriera...
...regge...
...di grande nome...
...Faro

fr. 4a
...grandi cose...

fr. 4b
...suvvia...
...non ingiustamente [?]

fr. 5
..sentimenti
altri, folli ha in sé;
bene da parte di beati dèi
...né affaticandosi
s'arrabattino loro dietro a cose losche.
Quello, scelto, prende moglie,
...armato d'una lancia
...lei dolcemente...
...come un re, ad avere scettro.
A causa di molta...
...rimanere: ah mi capitasse allora,

[γέ]νοιτ᾽ ὄππο̣τα.[.]μέ..ν̣
[ ].ηι γάμο̣ν̣

fr. 6
a)
col. I
τόδ᾽ αὖ]τε κῦμα τὼ π[ρ]οτέρ̣ [ω νέμω
στείχει,] παρὲξει δ᾽ ἄ[μμι πόνον π]όλυν
ἄντλην ἐπ]εί κε νᾶ[ος ἔμβαι
[ ].ο̣μεθ᾽ ἐ[

col. II
φαρξώμεθ᾽ ὡς ὤκιστα̣[
ἐς δ᾽ ἔχυρον λίμενα δρό[μωμεν,
καὶ μή τιν᾽ ὄκνος μόλθ[ακος
λάβηι. πρόδηλον γάρ· μεγ᾽[ἀέθλιον[11]
μνάσθητε τὼ πάροιθα μ[όχθω[12]
νῦν τις ἄνηρ δόκιμος γε̣[
καὶ μὴ καταισχύνωμεν[ἀνανδρίᾳ̣[13]
ἔσλοις τόκηας γᾶς ὕπα κε̣[ιμένοις
..] τᾶνδ[
τὰν πό[λιν **b**)
ἔοντε[ς ἔσλοι κ]ἀπ πατέρω[ν μάθος[14]
τὼν σφ[ῶν ὁ δ᾽]α̣μμος θῦμ[ος[15]
ἔοικε[ἴππ]ω̣ν̣[16] ταχήαν[
ταῖ[σι].ν ἦ̣τορ ἔνδ[ον[17]
ἀλλ.[ ]ᾳ̣ τᾶσδεπαλ[
..].[ ].ο̣ισα̣.ε̣λ̣.[
[ ].τ̣ο̣ι̣.[
π̣[..].[ ].συν.[
μ̣[η]δ᾽ ἄμμ[ι] λώ[βα[18]
γέ[ν]ος μενέ[
μοναρχίαν δ.[
μ]ηδὲ δεκωμ̣[

[11] Wilamowitz.
[12] Hunt.
[13] Hunt.
[14] Diehl, Gallavotti.
[15] Ferrari. Pontani: ἔσλοι.
[16] Diehl.
[17] Ferrari-Pontani.
[18] Voigt.

quando…
…matrimonio.

fr. 6
a)
col. I
Eccola, l'ondata, come quella prima
ci marcia contro. Sarà un gran problema
sgottarla, quando monta nella nave
…

col. II
Presto, mettiamo rinforzi alle murate,
filiamo a porto riparato.
E lo spavento fiacco non agguanti
nessuno tra di noi. Certo, la sfida è bella grossa,
ricordatevi gli sforzi del passato.
Uomo per uomo, siate volitivi.
Non infanghiamo con la codardia
i nobili antenati giacenti sotto terra…
questa…
…città…
per come erano degni, sull'esempio dei padri
loro; la nostra febbre nel cuore invece
è a somiglianza… di cavalle scattanti
che hanno… il cuore, dentro,
ma…
…
…
…
né per noi sia infamia…
la stirpe rimane…
tirannia di uno…
né accetterei…

fr. 7
[ ] ὦ φ[ίλε[19]
[ ] ἀιδρεΐα.[
[ ]..[.].β.α πάν[
[ ].και μάλ᾽ ἔων .[
[ ]νάν τ᾽ ἄνδρος πολ[
[ ] Πελάσγων .Αἰολ[ιδ-[20]
[ ]ποτ᾽ ἐξεπε.[
[ἄ]ναξ γλαφύρα[
[ ]ε Κιρσάησι.[
[νάεσσι]ν[21] ὠκήαισι κ[
[ ]τ᾽ ἐξίεις Φάλ[ανθον
[ ]ν ἴχθυ[

fr. 8a
[ ]
[ ]
[ ].τὰ nυν μά[τερ-
[π]άτηρ πρὶν θά[νην
[ ]λάχην.

fr. 10 B
ἔμε δείλαν, ἔ]με παίσ[αν κακοτάτων πεδέχοισαν
[ ]δομονο[
[ ]ει μόρος αἶσχ[
ἐπὶ γὰρ πᾶρ]ος ὀνίατον [ἵκνεῖται
ἐλάφω δὲ] βρόμος ἐν σ[τήθεσι φυίει φοβέροισιν
[μ]αινόμενον [
[ ] ἀυάταισ᾽ ὠ[

fr. 11
[].αλος[
[ ]τοπον[
[].αράγη[
[]..έγωγ[
[ ]οδ[

fr. 12
[ ].ιν ποησ.[
[]..αρέσσετ᾽ἀ[

fr. 16 B
[]παρμέν[

19 Diehl.
20 Hunt.
21 Lobel (ο ναῦσιν).

fr. 7
...amico...
...inesperienza...
...
...ed è parecchio...
...d'uomo...
...dei Pelasgi Eolidi...
...avrete un giorno...
...
...ai Crisei...
...su navi veloci...
...gettando fuori Falanto...
...pesci...

fr. 8a
...
...
...ora madre...
...il padre prima di morire...
...avere in sorte...

fr. 10 B
Sono caduta in basso! Mondo di miseria, il mio!
...
...sorte oscena...
assale lacerazione senza cura
grido di cerva si radica in seno spaurito
...delirio...
...angosce...

fr. 11
...di mare...
...luogo...
...che risuoni... [?]
...io stesso...
...

fr. 12
...fare...
...soddisfarà...

fr. 16 B
...stare accanto...

fr. 33a + b + c+ d

[]...[
].[[ ]τοσῶ[
κοσ[ ] εκ̣κ̣εκαλυπ̣[
δευρ[ ]υ̣κεπονάμ.[ ]δαυτ.[..
αβαισ[ ]..σκ̣εγηράσσ [ ]ντολῶπο[σ-]λειψ-[22] [?]
εξαυω[ ].[.]...φαφ[ ]ετι γυϊαφ[ ].ος
πλεην[ ]το λαΐφοσ̣[ ].εσθαι
αιδεκε[ ].νδιδηο [ ]σαν
εισίραν[ ]μενοσδ[ ].ρω
καυωχ[ ].ωμον.[ ].μμι
μενω[ ].ν·ταδα.[ ]πολιάταν
O]λυμπ.[[23]].ος

fr. 34a

[Δεῦτέ μοι νᾶ]σον Πέλοπος λίποντε[ς
[παῖδες ἴφθ]ιμοι[24] Δ[ῖος] ἠδὲ Λήδας
εὐνόω]ι θύ[μ]ωι προ[φά]νητε, Κάστορ
καὶ Πολύδε[υ]κες,
οἵ κὰτ εὔρηαν χ[θόνα] καὶ θάλασσαν
παῖσαν ἔρχεσθ' ὠ[κυπό]δων ἐπ' ἴππων,
ῥήα δ' ἀνθρώποι[ς] θα[ν]άτω ῥύεσθε
ζακρυόεντος
εὐσ̣δ[ὐγ]ων θρώισκοντ[ες ἐς] ἄκρα νάων
π]ήλοθεν λάμπροι πρό[τον 'ὀν]τρ[έχο]ντες,
ἀργαλέαι δ' ἐν νύκτι φ[άος φέ]ροντες
νᾶϊ μ[ε]λαίναι·
[ ]υε[
[ ]ο̣σ̣[

fr. 34
b

[ ]ερανδ[
[ ].ων [
[π]εμπε̣[[25]
[ ]...ν γε[
[Κάστορ καὶ Πολύ]δευκες[[26]
[ ]παρποτ[
[].[.]τ̣οι μειχν[υμεν
[τ]υρ̣άννοις [ἀ]ϊδ̣ήλοι[ς

22 Hunt, Lobel.
23 Voigt.
24 Wilamowitz.
25 Lobel.
26 Diehl.

fr. 33a + b + c+ d

...
... ...
... ...senza veli...
qui... ...affannarsi... ... ...
giovinezza (?) ...invecchia... ...pelle... (?) ...
prosciugato ...palpare...(?) ...non più le membra reggono (?)... ...
navigare ...straccio... ...
... ...ti legavi... ...
alla sacra... ...vigore... ...
e alla festa... ... ...
attendo... ... ...di cittadini...
...Olimpo... ...

fr. 34a

Qui, a me, staccandovi da isola di Pèlope
figli vigorosi di Zeus e di Leda
con intimo calore, lucidi apparite, Càstore
e Polluce!
Voi che spazi di pianeta, oceani
totali percorrete su scatto di cavalli
lievi custodite noi viventi da glaciale
morte;
scalate picchi in scafi, meraviglia d'assi
e da lontano siete lumi corridori sulle sartie
carichi di chiaro in notte amara
a nave tenebrosa
...
...

fr. 34
b
...
...
...mandare...
...
Castore e Polluce...
...
...mescolare...
tiranni distruttori...

[ ]ποίας πόσιν ἱππο[ἵσι τε **c**
[ ]λ̣ί̣ποντες Μάκαρο[ς νᾶσον ἐ]π̣ηρατ.[αν
[γαῖαν ἐς μεγάλ]αν[27] ἔλθετε τὰν κ̣[ῆνος ἄνηρ[28]]ν̣έμει [
[ ]ντεσ[.]μασδ[λαί]λαπος[29] [
